## ΧΟΡΟΣ.

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδράνων φύλακες,
κατὰ πρεσβείαν οὓς αὐτὸς ἄναξ
Ξέρξης βασιλεὺς Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν.
ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται
θυμὸς ἔσωθεν,
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
ᾤχωκε, νέον δ' ἄνδρα βαΰζει.
κοὔτε τις ἄγγελος οὔτε τις ἱππεὺς

v. 2 πίστα M. πιστὰ schol. vet. M. Πίστα grammaticus quidam, quem Didymum fuisse veri simile est. »οἱ ὑπομνηματισάμενοί φασιν ὅτι ἑαυτοὺς λέγουσιν πιστώματα Περσῶν οἱ κατὰ τὸν χορόν. ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσικὴ Πίστειρα, ἣν συγκόψας Πίστα ἔφη. — οἱ δὲ ἄλλως ὑπομνηματισάμενοί φασιν, ἡμεῖς ἐσμεν οἱ πιστοὶ χρηματοφύλακες Περσῶν.« schol. M. v. 6. Post δαρειογενὴσ in M. addita sunt δαρείου υἱὸσ. — Δαρειογενὴς Triclinius. v. 9 πολυχρύσουσ στρατιᾶσ M. πολύχειρος Weilius. v. 10 ἄγαν M. v. 12. Ἀσιατογενὴς spurium videtur. ἀσιατιγενὴς Turnebus. Ἀσιητιγενὴς Blomfieldus. Ἀσιαδογενὴς Stanleius. fort. Ἀσίας τε γένος v. 13 οἴχωκε,ν έον δ' M. Item Soph. Ai. 896 οἴχωκ' M. ᾤχωκε ex Herodiano περὶ μεγάλου ῥήματος ap. Koen. ad. Greg. Cor. p. 66 et Choerobosco p. 554, 10 ed. Gaisf. restituit Dindorfius. νέον δ' ἄνδρα = πᾶσαν τὴν νεότητα. cf. v. 479 πόλιν Περσῶν ποθοῦσαν φιλτάτην ἥβην χθονός. v. 630 νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλεν. — βαΰζει· ὑλακτεῖ Hesych. ἀνακαλεῖται schol. P. = latratu requirere. — Subiectum Ἀσία ex Ἀσιατογενὴς repetendum. — v. 14 κ' ουτέτι σ ἄγγελος ουτέτι σ M.